γίαις τῶν πρώτων ἐμπεριεχομένων· ὁ γὰρ ἀποκτείνας νενίκηκεν, οὐ μὴν ὁ νικήσας ἔκτεινεν. συνελόντι δ' εἰπεῖν, Ἀγαμέμνων οὐκ ἔλυσε τὴν τοῦ Ἕκτορος πρόκλησιν ἀλλ' ἐσαφήνισεν, οὐδὲ μετέθηκεν ἀλλὰ προσέθηκεν τὸ κυριώτατον, ἐν τῷ κτεῖναι τὸ νικῆσαι θέμενος· | αὕτη **743**
γάρ ἐστι νίκη παντελής, αἱ δ' ἄλλαι προφάσεις καὶ ἀντιλογίας ἔχουσιν, ὡς ἡ παρὰ Μενελάου μήτε τρώσαντος μήτε διώξαντος. ὥσπερ οὖν ἐν ταῖς ἀληθιναῖς ἀντινομίαις οἱ δικασταὶ τῷ μηδὲν ἀμφισβητήσιμον ἔχοντι προστίθενται, τὸν ἀσαφέστερον ἐάσαντες, οὕτως ἐνταῦθα τὴν ἀπροφάσιστον καὶ γνώριμον τέλος ἄγουσαν ὁμολογίαν βεβαιοτέραν χρὴ καὶ κυριωτέραν νομίζειν. ὃ δὲ μέγιστόν ἐστιν, αὐτὸς ὁ δοκῶν κρατεῖν, οὐκ ἀποστὰς φυγόντος οὐδὲ παυσάμενος, ἀλλὰ πανταχόσε 'φοιτῶν ἀν' ὅμιλον'

'εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα,' (Γ 450)

μεμαρτύρηκεν ἄκυρον εἶναι καὶ ἀτελῆ ⟨τὴν⟩ νίκην, ἐκεί- B
νου διαπεφευγότος· οὐδ' ἠμνημόνει τῶν ὑπ' αὐτοῦ ⟨δι⟩ειρημένων· (Γ 101)

'ἡμέων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,
τεθναίη, ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.'

διὸ ζητεῖν μὲν ἀναγκαῖον ἦν αὐτῷ τὸν Ἀλέξανδρον, ὅπως ἀποκτείνας συντελέσῃ τὸ τοῦ ἀγῶνος ἔργον, μὴ κτείνας δὲ μηδὲ λαβὼν οὐ δικαίως ἀπῄτει τὸ νικητήριον. οὐδὲ γὰρ ἐνίκησεν, εἰ δεῖ τεκμήρασθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις, ἐγκαλοῦντος τῷ Διὶ καὶ τὰς ἀποτεύξεις ὀδυρομένου· (Γ 365)

'Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ' ἐφάμην τίσασθαι Ἀλέξανδρον κακότητος, C

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/327 UNIVERSITÄT LEIPZIG